λγʹ

τὰ ὅμοια στερεὰ παραλληλεπίπεδα πρὸς ἄλληλα ἐν τριπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν· ἔστω ὅμοια στερεὰ παραλληλεπίπεδα τὰ ΑΒ ΓΔ· ὁμόλογος δὲ ἔστω ἡ ΑΕ τῇ ΓΖ· λέγω ὅτι τὸ ΑΒ στερεὸν πρὸς τὸ ΓΔ στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΕ πρὸς τὴν ΓΖ· ἐκβεβλήσθωσαν γὰρ ἐπ' εὐθείας ταῖς ΑΕ ΗΕ ΘΕ αἱ ΕΚ ΕΛ ΕΜ· καὶ κείσθω τῇ μὲν ΓΖ ἴση ἡ ΕΚ· τῇ δὲ ΖΝ ἴση ἡ ΕΛ· καὶ ἔτι τῇ ΖΡ ἴση ἡ ΕΜ· καὶ συμπεπληρώσθω τὸ ΚΛ παραλληλόγραμμον καὶ τὸ ΚΟ στερεόν· καὶ ἐπεὶ δύο αἱ ΚΕ ΕΛ δυσὶ ταῖς ΓΖ ΖΝ ἴσαι εἰσίν· ἀλλὰ καὶ γωνία ἡ ὑπὸ ΚΕΛ γωνίᾳ τῇ ὑπὸ ΓΖΝ ἐστὶν ἴση· ἐπειδήπερ καὶ ἡ ὑπὸ ΑΕΗ τῇ ὑπὸ ΓΖΝ ἐστὶν ἴση διὰ τὴν ὁμοιότητα τῶν ΑΒ ΓΔ στερεῶν· ἴσον ἄρα ἐστὶ καὶ ὅμοιον τὸ ΚΛ παραλληλόγραμμον τῷ ΓΝ παραλληλογράμμῳ· διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὲν ΚΜ παραλληλόγραμμον ἴσον ἐστὶ καὶ ὅμοιον τῷ ΓΡ παραλληλογράμμῳ· καὶ ἔτι τὸ ΕΟ τῷ ΖΔ· τρία ἄρα παραλληλόγραμμα τοῦ ΚΟ στερεοῦ τρισὶ παραλληλογράμμοις τοῦ ΓΔ στερεοῦ ./. ἴσα ἐστὶ καὶ ὅμοια· τὰ δὲ τρία τρισὶ τοῖς ἀπεναντίον ἐστὶ καὶ ὅμοια· ὅλον ἄρα τὸ ΚΟ στερεὸν ὅλῳ τῷ ΓΔ στερεῷ ἴσον ἐστὶ καὶ ὅμοιον· συμπεπληρώσθω τὸ ΗΚ παραλληλόγραμμον· καὶ ἀπὸ βάσεων μὲν τῶν ΗΚ ΚΛ παραλληλογράμμων· ὕψους δὲ τοῦ αὐτοῦ τῷ ΑΒ στερεὰ συμπεπληρώσθωσαν τὰ ΕΞ ΛΠ· καὶ ἐπεὶ διὰ τὴν ὁμοιότητα τῶν ΑΒ ΓΔ στερεῶν ἐστὶν ὡς ἡ ΑΕ πρὸς τὴν ΓΖ οὕτως ἡ ΕΗ πρὸς τὴν ΖΝ· καὶ ἡ ΕΘ πρὸς τὴν ΖΡ·

κ κορυφή

λη ιδ τοῦ ϛ

./. ἴσα καὶ ὅμοια· ἀλλὰ τὰ μὲν τρία τρισὶ τοῖς ἀπεναντίον

ἴση δὲ ἡ μὲν ΓΖ τῇ ΕΚ· ἡ δὲ ΖΝ τῇ ΕΛ· ἡ δὲ ΖΡ τῇ ΕΜ· ἔστιν ἄρα ὡς ἡ ΑΕ πρὸς τὴν ΕΚ· οὕτως ἡ ΗΕ πρὸς τὴν ΕΛ καὶ ἡ ΘΕ πρὸς τὴν ΕΜ· ἀλλ' ὡς μὲν ἡ ΑΕ πρὸς τὴν ΕΚ· οὕτως τὸ ΑΗ παραλληλόγραμμον πρὸς τὸ ΗΚ παραλληλόγραμμον· ὡς δὲ ἡ ΗΕ πρὸς τὴν ΕΛ· οὕτως τὸ ΗΚ πρὸς τὸ ΚΛ· ὡς δὲ ἡ ΘΕ πρὸς τὴν ΕΜ· οὕτως τὸ ΠΕ πρὸς τὸ ΚΜ· καὶ ὡς ἄρα τὸ ΑΗ παραλληλόγραμμον πρὸς τὸ ΗΚ· οὕτως τὸ ΗΚ πρὸς τὸ ΚΛ καὶ τὸ ΠΕ πρὸς τὸ ΚΜ· ἀλλ' ὡς μὲν τὸ ΑΗ πρὸς τὸ ΗΚ· οὕτως τὸ ΑΒ στερεὸν πρὸς τὸ ΕΞ στερεόν· ὡς δὲ τὸ ΗΚ πρὸς τὸ ΚΛ· οὕτως τὸ ΞΕ στερεὸν πρὸς τὸ ΠΛ στερεόν· ὡς δὲ τὸ ΠΕ πρὸς τὸ ΚΜ· οὕτως τὸ ΠΛ στερεὸν πρὸς τὸ ΚΟ στερεόν· καὶ ὡς ἄρα τὸ ΑΒ στερεὸν πρὸς τὸ ΕΞ· οὕτως τὸ ΕΞ πρὸς τὸ ΠΛ καὶ τὸ ΠΛ πρὸς τὸ ΚΟ· ἐὰν δὲ τέσσαρα μεγέθη κατὰ τὸ συνεχὲς ἀνάλογον ᾖ· τὸ πρῶτον πρὸς τὸ τέταρτον τριπλασίονα λόγον ἔχει ἤπερ πρὸς τὸ δεύτερον· τὸ ΑΒ ἄρα στερεὸν πρὸς τὸ ΚΟ τριπλασίονα λόγον ἔχει ἤπερ τὸ ΑΒ πρὸς τὸ ΕΞ· ἀλλ' ὡς τὸ ΑΒ πρὸς τὸ ΕΞ· οὕτως τὸ ΑΗ παραλληλόγραμμον πρὸς τὸ ΗΚ· καὶ ἡ ΑΕ εὐθεῖα πρὸς τὴν ΕΚ· ὥστε καὶ τὸ ΑΒ στερεὸν πρὸς τὸ ΚΟ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΕ πρὸς τὴν ΕΚ· ἴσον δὲ τὸ μὲν ΚΟ στερεὸν τῷ ΓΔ στερεῷ· ἡ δὲ ΕΚ εὐθεῖα τῇ ΓΖ· καὶ τὸ ΑΒ στερεὸν ἄρα πρὸς τὸ ΓΔ στερεὸν· τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ὁμόλογος αὐτοῦ πλευρὰ ἡ ΑΕ πρὸς τὴν ὁμόλογον πλευρὰν τὴν ΓΖ· τὰ ἄρα ὅμοια στερεὰ παραλληλεπίπεδα· ἐν τριπλα-

λη α τοῦ ϛ
λη α τοῦ ϛ
λη α τοῦ ϛ
λη λβ τοῦ ια καὶ ια τοῦ ε
λη λβ τοῦ ια
λη ι ὅρ τοῦ ε

BIBLIOTHECA BODLEIANA